# Περὶ Διαλύσεως.

Διάλυσις δὲ διττῶς γίνεται.

α΄. Λόγου, κατὰ τὸ καλούμενον Ἀσύνδετον σχῆμα, ὅτε ἀσυμπλέκτως τοὺς λόγους ἐκφέρομεν· οἷον· Συμβάλλοντες τὰς ἀσπίδας, ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον.

β΄. Λέξεως· ὅταν λέξις σύνθετος διαλύηται εἰς τὰς ἁπλᾶς· οἷον· Καταδακρυχέω. Καταχέω δάκρυ.

# Περὶ Ἀναλύσεως.

Ἀνάλυσις δὲ, ὅτε αἱ λέξεις παράγωγοι οὖσαι, ἀναλύονται εἰς τὸ ἐκ τῆς παραγωγῆς σημαινόμενον· οἷον· Πηλείδης, ὁ υἱὸς τοῦ Πηλέως. Πριαμὶς, ἡ θυγάτηρ τοῦ Πριάμου. Τελαμώνιος υἱὸς, ὁ τοῦ Τελαμῶνος υἱός. Τὸν ἐμὸν φίλον, τὸν φίλον μου. Ἀγεληδὸν, κατὰ τὰς ἀγέλας. Ὁμοίως, κατὰ τὸν ὅμοιον τρόπον· καὶ τὰ τοιαῦτα.

## Ἀνάλυσις Ῥήματος.

Τὰ δὲ Ῥήματα ἀναλύονται εἴς τε τὸ σύστοιχον ὄνομα, καὶ εἰς τὸ ὑπαρκτικὸν· καὶ ἤτοι κατ' ὀνομαστικὴν, ἢ κατὰ γενικὴν πτῶσιν· οἷον· Λύκιοι συνεμάχουν τοῖς Τρωσί· σύμμαχοι τοῖς Τρωσὶ ἦσαν, τῶν συμμάχων ἦσαν, τῶν συμμαχούντων ἦσαν. Λέγεται γενέσθαι, λόγος ἐστὶ γενέσθαι.

Τῶν δ' Ἐγκλίσεων, ἡ ὁριστικὴ, προστακτικὴ, καὶ εὐκτικὴ ἀναλύονται εἰς τὴν ἀπαρέμφατον, προσκειμένου ἀεὶ τοῦ τῆς ἐγκλίσεως

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἰδιώματος, δι' οὗ ἐξ ἀποφάσεως, εἰς ἀφήγησιν μεταβάλλει ὁ λόγος· οἷον· Περιπατεῖ Θέων· ὁρίζομαι Θέωνα περιπατεῖν. Περιπατείτω Θέων. προστάττω Θέωνα περιπατεῖν. Περιπατοίη Θέων, εὔχομαι Θέωνα περιπατεῖν· ἡ δ' ὑποτακτικὴ εἰς οὐδὲν ἀναλύεται, ἅτε μηδὲν ἴδιον ἔχουσα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Ἀνάλυσις Ἀπαρεμφάτου.

α. Τὸ μὲν Ὀνοματικὸν ἀπαρέμφατον ἀναλύεται. α'. Ἐπὶ μὲν ὁμολογουμένων διὰ τοῦ Ὅτι· οἷον· Αὕτη ἡ αἰτία μόνη ἐγένετο τοῖς Κορινθίοις, ὅτι σφίσιν ἐν σπονδαῖς κατὰ Κερκυραίων ἐναυμάχουν· ἤτοι Τὸ ναυμαχεῖν. β'. Ἐπὶ δὲ ἐνδοιαζομένων, διὰ τοῦ Εἰ, ἢ Ἐὰν· οἷον· Ἀγαπῴη ἄν, εἰ τοῦ ἑαυτοῦ ἔθνους ἄρχων διαγένοιτο· ἤτοι Διαγενέσθαι. Ταύτην γὰρ ἐμαυτῷ μόνην ἡγοῦμαι σωτηρίαν, ἐὰν ὑμῖν εἰπεῖν δυνηθῶ ἅπαντα τὰ πεπραγμένα. ἤτοι Τὸ δυνηθῆναι. γ'. Ἐπὶ δὲ ὁρισμοῦ διὰ τοῦ Ἵνα· οἷον· Αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε· ἤτοι Τὸ γινώσκειν σε. δ'. Μετὰ δὲ προαναφώνησιν, διὰ τοῦ Ἵνα, ἢ προσλήψει τοῦ Ὥστε· οἷον· Τέτταρας τούτου κανόνας ἡμῖν παραδίδωσι· πρῶτον μέν, ἵνα πρόσωπόν τε καὶ πρᾶγμα ἔχῃ· δεύτερον ὥστε ἐξ ἑκατέρου δικαιολογίας πιθανάς, καὶ διαφόρους εἶναι. κ. τλ. ἤτοι Τὸ ἔχειν, Τὸ Εἶναι. ε'. Εἰς τὸ σύστοιχον ὄνομα· Τὸ ὑγιαίνειν ἡδύ· ἡ ὑγιεία ἐστὶν ἡδεῖα.

β'. Τὸ δὲ Τελικὸν διὰ τοῦ Ἵνα· οἷον· Τάττω σε προηγεῖσθαι τῶν ἄλλων· Ἵνα προηγῇ τῶν ἄλλων.

γ'. Τὸ δὲ Εἰδικὸν διὰ τοῦ Ὅτι· οἷον· Φασὶν ὅτι ἐληλύθασιν· ἤτοι Ἐληλυθέναι.

δ'. Τὸ δὲ Παρεμφαντικὸν· εἰς ὁριστικὴν ἔγκλισιν καὶ εὐκτικὴν μετὰ τοῦ ἄν· οἷον· Ὥστε λέγει· ὥστε λέγοι ἄν· τὰ δὲ τῷ μέλλω ἀκολουθοῦντα εἰς τὸν ἴδιον μέλλοντα· Μέλλω δρᾶν, δράσω.

Ε.Υ.Δ. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Σημείωσαι δὲ, ὅτι ἐν τῇ τοῦ ἀπαρεμφάτου ἀναλύσει πολλάκις συμβαίνει, προηγουμένην τὴν ἐκ πρώτου αἰτιατικὴν, μὴ μεταβληθῆναι εἰς ὀνομαστικὴν, τοῦ ἀπαρεμφάτου ἀναλυθέντος· οἷον· Τόν τε τόπον ἔφραζεν, ὡς ἱερὸς Ἡρακλέους εἴη (Διων Χρυσός. περὶ Βασ. Λ. ϛ΄.). Καὶ τοὺς ξένους δὲ εἰπεῖν (τὸν Ἄρεσκον), ὡς δικαιότερα λέγουσι τῶν πολιτῶν (Ξενοφ. Κύρ. παιδ. β. 2.). Τοὺς μέν τοι Ἕλληνας, τοὺς ἐν Ἀσίᾳ οἰκοῦντας, οὐδέν πω σαφὲς λέγεται, εἰ ἕπονται (Θεοφράσ. Χαρακτῆρ. κεφ. Ε.).

## Ἀνάλυσις Μετοχῶν.

α΄. Ἡ μὲν αἰτιολογικὴ τοῦ ποιητικοῦ αἰτίου μετοχὴ ἀναλύεται διὰ τοῦ Ἐπειδὴ, ἢ τῶν τοιούτων· οἷον· γράψας ὠφέλησα· ἐπειδὴ ἔγραψα, διότι ἔγραψα, ἐκ τοῦ γράψαι, διὰ τὸ γράψαι ὠφέλησα.

β΄. Ἡ δὲ Ὀργανικὴ, εἰς δοτικὴν μεταποιουμένη, ἢ προθετοπτώτως διὰ τῆς Ἐν, ἢ διὰ τῆς Διὰ μετὰ γενικῆς, ἢ ὡς ἂν ἄλλως δηλοῦται τὸ ὄργανον· οἷον· Σωφρονίζειν τοὺς μειρακίσκους, διδάσκοντας, ἀπειλοῦντας· ἤτοι διδαχαῖς, ἀπειλαῖς, ἢ διὰ διδαχῶν, ἀπειλῶν· ἢ ἐν διδαχαῖς, ἀπειλαῖς.

γ΄. Ἡ δὲ Εἰδικὴ, διὰ τοῦ Ὅτι· οἷον· Οἶδά σε σοφὸν ὄντα· ὅτι εἶ σοφός.

δ΄. Ἡ δὲ Τελικὴ, διὰ τοῦ Ἵνα, ἢ τῶν ἴσων· οἷον· ἦλθες μηνύσων· ἵνα μηνύσῃς· ἕνεκα τοῦ μηνῦσαι.

ε΄. Ἡ δ' Ὀνοματικὴ εἰς ὄνομα μεταλαμβάνεται· οἷον· Τοὺς λέγοντας ἐπαινῶ· τοὺς λογίους ἐπαινῶ.

ϛ΄. Ἡ δὲ Ῥηματικὴ, διὰ τοῦ Καὶ, καὶ τοῦ συστοίχου ῥήματος· οἷον· Ἀναπνέω ζῶν· ἤτοι ἀναπνέω καὶ ζῶ.

ζ΄. Ἡ δὲ Ἀοριστολογικὴ δι' ὑποτακτικοῦ ἄρθρου, καὶ ἀοριστολο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ τηςΕΠΕΑΕΚ ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

γικοῦ ἂν· οἷον. Ὁ γυμνασιαρχήσων ἴέτω· ἤτοι ὅς τις ἂν γυμνασιαρχήσειν μέλλῃ· Ὁ ἐπιμείνας ἔςω. Ὅς τις ἂν ἐπιμείνῃ.

ή. Ἡ δ' Ἀναφορικὴ διὰ τῆς ἀναφορικῆς Ἀντωνυμίας· οἷον. Ὁ ὑπομείνας εἰς τέλος σωθήσεται. Ὅς τις ὑπέμεινεν· Ὁ ἐλθὼν σῶσαι. Ὅς τις ἦλθεν.

θ'. Ἡ δ' Ὑποθετικὴ, διὰ διστακτικοῦ μορίου· οἷον. Ἀκολουθήσας σοι, ἐπιδώσω· ἤτοι. Ἐὰν ἀκολουθήσω σοι· ἢ, Εἰ ἀκολουθήσω σοι ἐπιδώσω.

ί. Ἡ δὲ Χρονικὴ διὰ χρονικοῦ τινος ἐπιῤῥήματος· οἷον. Ἐλθὼν ταῦτα ἀπήγγειλεν· ἤτοι Ὅτε ἦλθε· καὶ δι' ἀπαρεμφάτου μετὰ προθέσεως· οἷον. Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς.

ιά. Ἡ δ' Ἐναντιωματικὴ, δι' ἐναντιωματικοῦ τινος μορίου, καὶ τοῦ συστοίχου ῥήματος· οἷον. Καί τοι σπεύδων, ὅμως οὐκ εἶχε καταλαβεῖν.

ιβ'. Ἡ δὲ Τροπικὴ, δι' Ἐπιῤῥήματος, ἢ Προθετοπτώτου· οἷον. Χαίρων ἦλθον· ἤτοι Μετὰ χαρᾶς, ἢ Χαρμοσύνως.

ιγ'. Ἡ δὲ Ἀντὶ προθετοπτώτου· προθετοπτώτως ἀναλύεται δι' ἀπαρεμφάτου· οἷον. Ἐπεπαύμην φοιτῶν· ἀπὸ τοῦ φοιτᾶν· καὶ διὰ μόνου ἀπαρεμφάτου ἐλλειπτικῶς· οἷον. Καὶ παῦσαι βοηθεῖν αὐτοῖς· ἀντὶ ἀπὸ τοῦ βοηθεῖν.

## Περὶ Συναιρέσεως.

Καὶ ἡ Συναίρεσις δὲ διττὴ ἐςί.

ά. Λόγου· κατὰ τὸ καλούμενον Πολυσύνδετον, ὅτε πολλὰ τοῖς συμπλεκτικοῖς τῶν συνδέσμων συνδέομεν· οἷον. Ὄλυνθον δὴ καὶ



ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... Ε.Υ.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2005

Μεθώνην, καὶ Ἀπολλωνίαν, καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θράκης ἑῶ· καὶ, Τῶν δὲ πολεμίων, ἐπεὶ σαφὲς ἐγένετο, οἱ μὲν, ἐθαύμαζον τὰ ὁρώμενα· οἱ δὲ, ἐγίνωσκον ἤδη· οἱ δ' ἤγγελλον, οἱ δ' ἐβόων, οἱ δ' ἔλυον ἵππους· οἱ δὲ, συνεσκευάζοντο, οἱ δὲ ἀνεπήδων ἐπὶ τοὺς ἵππους· οἱ δὲ, ἐχαλίνουν καὶ τλ.

β'. Λέξεως· ὅτε ἐκ δυοῖν ἁπλῶν λέξεων μίαν σύνθετον ποιοῦμεν. Πόλις Κωνσταντίνου, Κωνσταντινούπολις. Ὁ πολὺ ὄλβιος, ὁ πολύολβος. Καταχέω δάκρυ. καταδακρυχέω.

## Περί Τινων Ἄλλων Σχημάτων Γραμματικῶν.

### Περὶ τοῦ Ὀρθοῦ καὶ Πλαγίου.

Σχῆμα δὲ Ὀρθὸν μὲν τοῦ λόγου λέγεται, ὅταν δι ὀνομαστικῆς ἐκφέρηται, καὶ ταὐτοπροσωποῦντος τῇ ὀνομαστικῇ τοῦ ῥήματος· οἷον. Ἐγὼ γράφω. Πλάγιον δὲ, ὅταν διά τινος πλαγίας ἐκφέρηται ἑτεροπροσωπικῶς μεταβατικῶς ἐκ τρίτου καὶ ἐκ τετάρτου· οἷον. Διδάσκω σε γραμματικά· καὶ ταὐτοπροσωπικῶς ἐπ' αὐτοπαθείας· οἷον. Σὺ πείθεις σεαυτόν.

Καὶ πλαγιάζουσι μὲν τὸ σχῆμα τοῦ λόγου, ὅσα πρὸς πλαγίαν φέρονται πτῶσιν· καὶ τῶν μετοχῶν αἱ ἀπόλυτοι· οἷον. Ἐμοῦ διδάσκοντος, ἥκει Σωκράτης·

Ὀρθοῦσι δὲ τῶν πτωτικῶν καὶ ἀπτώτων, ὅσα πρὸς ἴδιον φέρονται ῥῆμα. Καὶ τῶν μὲν πτωτικῶν, τὰ ἐρωτηματικὰ, τὰ ἀόριστα, πλὴν τοῦ Τις, καὶ τῶν ἀναφορικῶν, ὅσα ἀπὸ φωνήεντος ἄρχεται· οἷον. Ἐπαινῶ τὸν εἰπόντα, ὅς τις ποτὲ ἦν ὁ τοῦ λόγου πατήρ. Ἐπαινῶ τοὺς μαθητὰς, ὅσοι αὐτῶν ἐπιμελοῦνται· Ὁρᾷς τὸν δεῖνα,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. Α. τηρ. κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

οἷος ἐστί· Ἐπαινῶ τὸν Ἀριστοτέλην, ὃς ἔφη· ὅτι πᾶς ἄνθρωπος φύσει τοῦ εἰδέναι ὀρέγεται. Τῶν δ' ἀπτώτων, ἐκ μὲν τῶν Ἐπιῤῥημάτων, τῶν μὲν χρονικῶν τὸ, Ἐπεὶ, Ἐπειδὴ, Ἕως, Πρὶν, καὶ τὰ ἴσα· οἷον. Φασὶ τὸν βασιλέα, ἐπειδὴ, ἢ Μέχρις, ἢ Πρὶν, ἢ Ἕως οὗ τῶν ὑπηκόων ἐπιμελεῖται, πατέρα εἶναι κοινόν· καὶ τὰ ἀπὸ φωνήεντος ἀρχόμενα ἀναφορικά· ὅτε, Ἡνίκα, Ἕως. Τῶν δὲ τοπικῶν τὸ Ἧ, Οἷ, Οὗ, Πόθεν, Ὅθεν· οἷον. Ὁρᾷς, οἶμαι, τοὺς ἀμελοῦντας, οἳ τῶν κακῶν ἐχώρησαν. Καὶ ἤρξαντο πάντες πυνθάνεσθαι, πόθεν, ἢ ὅθεν ἐκεῖνος ἤρχετο. καὶ τὰ ἐρωτηματικά· οἷον. Πυνθάνῃ τοῦ παιδὸς, ποῦ ποτ' ἀπήει, καὶ ποῦ ἔθηκε τὸ βιβλίον. Τῶν δὲ τροπικῶν τὰ Ἀόριστα. οἷον· Λέγε τὰ τῆς Ἑλλάδος, ὅπως ἔχει τὰ νῦν. Τῶν Βεβαιωτικῶν τὸ Ὅτι· οἷον. λέγουσι περὶ τοῦ βασιλέως· ὅτι ἐπιμελεῖται τῶν ὑπηκόων. Τὸ ἀπαγορευτικὸν Μὴ· συνενοουμένου τοῦ Ἵνα· οἷον. Φείδου τοῦ χρόνου, μὴ παρελθὼν ἐπιλείπῃ σε ἀμαθῆ. Τῶν παραβολικῶν τὰ Ἀναφορικά· οἷον. Ἑώρων τὸν Λεωνίδην, ὥσπερ Λέων, ἐπιπεσόντα τοῖς ἐχθροῖς. Τῶν δὲ Συνδέσμων οἱ συναπτικοὶ, καὶ παρασυναπτικοὶ, καὶ αἰτιολογικοὶ· οἷον. Λέγουσι τὸν δεῖνα ἐπιδώσειν, εἰ ἐπιμεληθείη, ἐὰν ἐπιμεληθῇ· Δεῖ ταῦτα μανθάνειν· ἀναγκαῖα γάρ· ὅτι ἀναγκαῖα.

## Περὶ Πολυπτώτου.

Πολύπτωτον σχῆμα γίνεται, ὅταν πρὸς εὐφράδειαν χαριέντως ὁ λόγος πλειόνων καὶ διαφόρων πτώσεων ἀντιλαμβάνηται· οἷον. Τίνι μὲν γὰρ φίλοι πλείους, ἢ τῷ Περσῶν βασιλεῖ; τίς δὲ κοσμῶν φαίνεται ἀεὶ τοὺς περὶ αὐτὸν μᾶλλον, ὡς βασιλεύς; τίνος δὲ δῶρα γινώσκεται μᾶλλον, ἢ τὰ βασιλέως;

## Περὶ Ὁμοιοπτώτου.

Ὁμοιόπτωτον δὲ, ὅταν κατὰ τὴν αὐτὴν πτῶσιν λήγῃ τὰ τῶν

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

λόγων· οἷον. Τεκμήριον μὲν, τῆς πρὸς ἡμᾶς φιλίας· σημεῖον δὲ, τῆς πρὸς Ἱππόνικον συνηθείας.

### Περὶ Ὁμοιοτελεύτου.

Ὁμοιοτέλευτον δὲ, ὅτε αἱ καταλήξεις εἰσὶν ὅμοιαι τῶν λόγων· οἷον. Σὺ μὲν παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν τοὺς ἄλλους ἐπιχειρῶ· καὶ σὺ μὲν ἀκμὴν φιλοσοφεῖς, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

# ΤΜΗΜΑ ΠΕΜΠΤΟΝ.

## ΣΟΛΟΙΚΙΣΜΟΣ.

### Ἡ περὶ τοῦ κατὰ τὸν λόγον ἁμαρτήματος.

Ὁ δὲ Σολοικισμὸς γίνεται τετραχῶς.

α΄. Κατ' ἔνδειαν· ὅταν ἐλλείπῃ τις λέξις, μὴ δέον· οἷον. Ἔρχονται πεδίοιο· ἐλλείπει ἡ Διά.

β΄. Κατὰ Πλεονασμόν· ὅταν περιττῶς πλεονάζῃ· οἷον· ἐξ οὐρανόθεν· πλεονάζει ἡ Ἐξ.

γ΄. Κατὰ Μετάθεσιν· ὅταν μία λέξις μετατεθῇ ἐκ τῆς οἰκείας θέσεως εἰς ἄλλην· οἷον. Ἡ δόξαν, ἤτοι διαβολήν· ἀντὶ Ἤτοι δόξαν, ἢ διαβολήν.

δ΄. Κατ' Ἐναλλαγήν· διττῶς· ἤτοι κατ' Ἀντιμέρειαν· ὅταν ἄλλο μέρος λόγου ἀντὶ ἄλλου τεθῇ· οἷον. Τόξων εὖ εἰδώς· ἀντὶ τοῦ,

ΕΚ. Δ. τ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τοξεύειν εὖ εἰδὼς· ἢ τόξων εἰδήμων· ἢ Κατὰ τὰ παρεπόμενα· Γένος μὲν· Οἷον. Αἴθη θῆλυς ἐοῦσα· ἀντὶ Θήλεια. Εἶδος δὲ· οἷον. Μελάντερον ἠΰτε πίσσα· ἀντὶ Μέλαν. Σχῆμα δὲ· οἷον· Αὐτὰρ ἐγὼ ἐμὲ λύσομαι· ἀντὶ Ἐμαυτόν. Ἀριθμὸν δὲ· οἷον. Γραίαν, ἀντὶ Γραίας. Θεσπιὰν, ἀντὶ Θεσπιάς· Πτῶσιν δὲ· οἷον. Νεστορίδαι ὁ μὲν· ἀντὶ Νεστοριδῶν. Διάθεσιν δὲ· οἷον· Ὅ-ρῶμαι, ἀντὶ Ὁρῶ. Πρόσωπον δὲ· οἷον. Ὅσοι θεοί εἰσιν, ἐπιπείθονταί σοι, καὶ δεδμήμεθα πάντες· ἀντὶ Δέδμηνται. Χρόνον δὲ· οἷον. Ἐγὼ δ' ἄγω Βρισηΐδα· ἀντὶ ἄξω.

## Σημείωσις.

Τὸ δὴ τετραπλοῦν τοῦτο τοῦ Σολοικισμοῦ ἀναλογεῖ τοῖς σχήμασιν, ἢ πάθεσι τοῦ λόγου, πάθος καὶ αὐτὸ ὂν, ἐξ ἀμαθίας, ἢ ἄλλως πως γενόμενον· οἷον. ὁ Πλεονασμὸς τῷ Πλεονασμῷ, ἡ Ἔνδεια τῇ Ἐνδείᾳ· ἡ Μετάθεσις τῇ Μεταθέσει· καὶ ἡ Ἐναλλαγὴ τῇ Μεταλήψει. Καὶ συμβαίνει ἄρα ἐν τοῖς σχήμασι μάλιστα προσέχειν τὸν νοῦν ἀκριβέστατα· μὴ δόξαντες σχήματι χρῆσθαι, λάθωμεν σολοικίζοντες· μηδὲ τοὺς Ποιητὰς μιμεῖσθαι χρή· οὗτοι γὰρ διὰ τὸ μέτρον, καὶ διά τι πάθος ψυχῆς, οὐ μόνον, ἃ τοῖς χυδαίοις ἴδια καὶ ἀμαθέσι, καὶ τοῦ ὄχλου, ἐν τοῖς ἑαυτῶν ποιήμασι δι' ἀνάγκην τοῦ μέτρου ἐχρήσαντο, ἀλλὰ καὶ αὐτοὶ τούτοις ἀναλογοῦντες ἔπλαττον τινά· οὐ μὴν δὲ οἱ ἐν τῷ πεζῷ λόγῳ γράφοντες· οὗτοι γὰρ τὰ χυδαῖα, καὶ τοῦ ἀμαθοῦς ὄχλου, οὐδέποτε ἐν τοῖς ἰδίοις συγγράμμασι, καθάπερ οἱ Ποιηταὶ, ἐγκαταμῖξαι προὐθυμήθησαν· οὐδ' ἐν ἀνάγκῃ ἐγένοντο· εἰ μή τι πρὸς χάριν τοῦ λόγου ἐπίτηδες μεθοδεύονται, ἄλλως τε καὶ τῆς ῥύμης τοῦ λόγου οὕτω διδασκούσης, ἢ ἀπαιτούσης.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ΤΗΣ
# ΠΡΑΚΤΙΚΗΣ
# ΓΡΑΜΜΑΤΙΚΗΣ.

## ΒΙΒΛΊΟΝ ΔΕΎΤΕΡΟΝ.

### ΣΎΝΘΕΣΙΣ.

## ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

### Σύνθεσις.

Ἢ ὅπως τὰ Μέρη τοῦ λόγου καὶ οἱ λόγοι αὐτοὶ συμπλέκονται πρὸς ἀλλήλους εἰς σύστασιν διανοίας αὐτοτελοῦς καθ' Ἕλληνας.

### Ά. Ποσαπλοῦς ὁ Λόγος.

Ὁ Λόγος ἐστὶν Ἁπλοῦς μὲν, ὁ ἐξ ἑνὸς ὀνόματος καὶ ἐξ ἑνὸς ῥήματος συνιστάμενος· οἷον· Σωκράτης διαλέγεται πρὸς τοὺς ἑαυτοῦ μαθητάς. Συνημμένος δὲ, ὁ ἐκ πλειόνων ῥημάτων συνδεδεμένων ἀλλήλοις, ἢ τῶν πτωτικῶν καὶ ἀπτώτων τοῖς ἀναφορικοῖς καὶ ἀνταποδοτικοῖς. Καὶ συνδέσμοις μὲν συνημμένος· οἷον· Σωκράτης περιπατεῖ, καὶ διαλέγεται πρὸς τοὺς ἑαυτοῦ μαθητάς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ. ΙΩΑΝΝΙΝΑ 2006

σὺ μὲν διδάσκεις, ἐγὼ δὲ μανθάνω· Ἢ νοῶ, ἢ γράφω· Ἐπεὶ περιπατεῖ, κινεῖται· τοῖς ἀναφορικοῖς δὲ καὶ ἀνταποδοτικοῖς· οἷον. Τοιοῦτος Αἴας, οἷος Ἀχιλεύς· Τότε ὄμβρος ἐγένετο, ὅτε ὄρθρος ἀνέτειλεν· Ὥσπερ ὁ αἰσθητὸς ἥλιος φωτίζει τὰς ὄψεις τοῦ σώματος, οὕτως ὁ νοητὸς ἥλιος τοὺς νοεροὺς τῆς ψυχῆς ὀφθαλμοὺς καταυγάζει. Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη.

## Β'. Πόσα τὰ μέρη τοῦ λόγου.

Τὰ δὲ τοῦ λόγου μέρη τέσσαρα· τὸ ἐκ πρώτου, τὸ ἐκ τρίτου, τὸ ἐκ τετάρτου· οἷς γε τὸ ῥῆμα δεύτερον μέρος τῇ τάξει ὂν, ὡς βάσις τοῦ λόγου ὑπόκειται.

Ταῦτα δὴ τὰ μέρη ἤτοι Ἐλάχιστά ἐστιν, ἢ Μείζω καὶ Μέγιστα· Καὶ Ἐλάχιστα μὲν, ὁπόταν μοναδικὰ ὦσι, μηδὲν ἕκαστον προσλαμβάνοντα αὐτοῖς ἐπιλεγόμενον ἕτερον· οἷον· Σωκράτης ἐδίδασκε τοὺς Ἕλληνας τὴν φιλοσοφίαν ἐν Ἀθήναις ἐπιμελῶς. Μείζονα δὲ καὶ Μέγιστα, ὁπόταν ἕκαστον πολλὰ προσλαμβάνῃ ἐπιλεγόμενα αὐτοῖς, ἤτοι διὰ συνδέσμων, ἢ δι ὀρθωτικῶν τινων μορίων, τοῦ ῥήματος οἷα βάσεως ὄντος, καὶ ἀεὶ μονομεροῦς μένοντος καὶ ἐλαχίστου. Καὶ διὰ μὲν συνδέσμων· οἷον· Σωκράτης ὁ Ἀθηναῖος, ὁ ἠθικὸς φιλόσοφος καὶ εἰς εἱρκτὴν, ὑπὸ Μελίτου γραφὴν ἀσεβείας φεύγων, βληθεὶς, κἀκεῖ ἀποθανὼν, εἰς βαθὺ ἤδη γῆρας ἥκων· ὁ καὶ μετάμελον τοῖς Ἀθηναίοις καταλιπὼν, ἀδίκως αὐτὸν θάνατον καταψηφισαμένοις, ἐδίδασκε τῶν Ἑλλήνων τούς τε νέους ἔτι ὄντας, καὶ τοὺς εἰς ἄνδρας παραγγείλαντας, ἔτι δὲ καὶ τοὺς προβεβηκότας, πᾶν εἶδος φιλοσοφίας, τήν τε ἠθικὴν καὶ τακτικὴν, καὶ λοιπὰς ἐπιστήμας, μεθ' ὅτι πλείστης ἐπιμελείας. Διὰ δὲ τῶν ὀρθωτικῶν μορίων· οἷον· Σωκράτης ὁ ἐξ Ἀθηνῶν, οὗ λόγος ἐπὶ σοφίᾳ πολὺς, καὶ ὃς εἰς εἱρκτὴν, δι ἣν ὑπὸ Μελίτου ἔφυγε γραφὴν ἀσεβείας, εἰσήχθη, ἔνθα καὶ τεθνᾶναι αὐτὸν λόγος κατέχει, ὀγδοηκοντούτην γενόμενον, με-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ τμ. Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

τάμελόν τε ἀφεῖναι τοῖς Ἀθηναίοις πολὺν, ἐφ' οἷς ἀδίκως αὐτοῦ κατεψηφίσαντο θάνατον, αὐτὸς ἐδίδαξε τοὺς Ἀθηναίους, τοὺς μὲν παῖδας ἔτι ὄντας, τοὺς δὲ καὶ τὸ ἀνδρικὸν ἀπειληφότας ἱμάτιον, τοὺς δὲ καὶ προβεβηκότας, εἴ τινες εἶεν αὐτῶν, ὧν τὰς ψυχὰς φθόνος οὐκ ἔσμιγεν, ὥστε φοιτᾷν πρὸς αὐτόν· καὶ τοῖς μὲν πρὸς χάριν, τοὺς δὲ καὶ πρὸς ἀργύριον· καὶ τοὺς μὲν τὴν φιλοσοφίαν, ἥτις τὰ ἤθη παιδεύει, καὶ ὅσα γ' ἂν εἴη τοῖς ἀνθρώποις προσανήκοντα διατάττει. Ἔστι δ' οὓς τὴν τακτικὴν μελέτην, ἐπεὶ σωτηρία γε αὕτη ταῖς πόλεσι παρὰ τῶν θεῶν δεδωρεῖσθαι πιστεύεται· πολλοὺς δὲ αὐτῶν καὶ τὰς ἐπιστήμας, δι' ὧν τῶν ὄντων, ὅσα μὲν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς καὶ μεταξύ εἰσιν, ὅσα δ' ἐν θαλάσσῃ καὶ ὑπὸ γῆν ὑπὸ τῆς φύσεως κατορώρυκται, τὴν γνῶσιν πορίζονται ἄνθρωποι.

Ταὐτὰ δὲ ταῦτα τὰ μέρη, καὶ ἐν ἑκάστῳ τῶν Συνημμένων λόγων θεωρεῖται. Ἕκαστος γὰρ αὐτῶν τὰ αὐτὰ μέρη ἕξει Ἐλάχιστα, Μείζονα, καὶ Μέγιστα· οἷον. Ὁ μὲν Σωκράτης διδάσκει τοὺς Ἀθηναίους πᾶσαν φιλοσοφίαν ἐπιμελῶς· ὁ δὲ Πλάτων ἔγραψε τὰ φιλοσοφούμενα προσεκτικῶς. Τούτων τῶν δυοῖν λόγων, ἑνὸς ὄντων κατὰ συναφὴν, εἰς μέγιστα μέρη ἑκάτερος πλατυνθήσεται τὸν εἰρημένον τρόπον ὧδε. Ὁ μὲν Σωκράτης, οὗ λόγος ἐπ' ἀρετῇ πολὺς, καὶ ὃς κωνείῳ ἀποθανὼν ἐν εἱρκτῇ, μετάμελον τοῖς Ἀθηναίοις κατέλιπε πολὺν, ἐφ' οἷς αὐτοῦ ἀδίκως κατεψηφίσαντο θάνατον, ἐδίδασκε τοὺς Ἀθηναίους, ὅσοι τε νέοι ἦσαν, καὶ τοὺς ἐν ἡλικίᾳ, καὶ εἴτις ἄλλος παρ' αὐτῷ ἐφοίτα, τοὺς μὲν τὴν ἠθικὴν παιδείαν, τοὺς δὲ τὴν τακτικὴν, τοὺς δὲ καὶ τὴν ἄλλην φιλοσοφίαν, μεθ' ὅτι πλείστης τῆς ἐπιμελείας· ὁ δὲ Πλάτων, ὃς διδασκάλῳ ἐχρήσατο Σωκράτει, παρ' οὗ πᾶσαν ἐπαιδεύθη παιδείαν Ἑλληνικὴν, βουλόμενος τοῖς ὕστερον ὑπομνήματα ἄξια λόγου ἑαυτοῦ τε καὶ τοῦ διδασκάλου καταλιπεῖν, ἔγραψε πάντα, ὅσα τε παρὰ τοῦ διδασκάλου ἐξέμαθεν, ὅσα τε αὐτὸς ἀφ' ἑαυτοῦ ἐπενόησε, καὶ ὅσα ἀλλοθέν ποθεν πόνοις ἀτρύτοις συνελέξατο. Καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΕΠ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Σημείωσαι δὲ, ὅτι ἐὰν τὸ ῥῆμα ἀμετάβατον ᾖ, ἓν μέρος ἕξει ὁ λόγος μέγιστον, τὸ ἐκ πρώτου· ἐὰν δὲ μεταβατικὸν, δύο μὲν, ἐὰν ἁπλοῦς ᾖ, τὸ ἐκ πρώτου καὶ ἐκ τρίτου· τρία δὲ, ἐὰν καὶ συγκειμένως συντάσσηται· τὸ ἐκ πρώτου, ἐκ τρίτου, καὶ ἐκ τετάρτου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Γ΄. Ἀνάλυσις τοῦ λόγου.

Ὁ δὲ λόγος, οὗ μὲν τὰ μέρη Ἐλάχιστα εἰς οὐδὲν ἀναλύεται· οὗ δὲ Μείζονα καὶ Μέγιστα εἰς τὰ ἐλάχιστα ἀναλύεται οὕτως· ὥστε ἐξ ἑνὸς γενέσθαι πολλοὺς συνδεδεμένους εἰς ἕνα, ἐλάχιστα μέρη ἔχοντας· οἷον. Σωκράτης ἦν μὲν ἐξ Ἀθηνῶν, λόγος δὲ αὐτοῦ ἐπ' ἀρετῇ πολὺς, κωνείῳ δὲ ἐν εἱρκτῇ ἀπέθανε, μετάμελον δὲ τοῖς Ἀθηναίοις κατέλιπε πολὺν, ἐπειδὴ οὗτοι κατεψηφήσαντο αὐτοῦ ἀδίκως θάνατον· ἐδίδασκε δὲ τοὺς Ἀθηναίους πᾶν εἶδος φιλοσοφίας· καὶ ἄλλοι μὲν αὐτῶν ἔμαθον τὴν ἠθικὴν, ἄλλοι δὲ ἐδιδάσκοντο τὰ τακτικὰ, ἕτεροι δὲ τὴν ἄλλην παιδείαν. ἐδίδασκε δὲ πάντας ὁμοίως μετὰ πολλῆς τῆς ἐπιμελείας. Οὕτω δὲ καὶ πᾶς ἄλλος ἀναλυθήσεται λόγος, μείζω καὶ μέγιστα μέρη ἔχων.

## Δ΄. Ποσαχῶς συντίθεται ὁ λόγος.

Πᾶς δὲ λόγος εἴτε ἁπλοῦς εἴη, εἴτε συνημμένος, καὶ εἰ ἐλάχιστα, εἰ μείζω καὶ μέγιστα ἔχει μέρη, διττὴν ἐπιδέχεται τὴν σύνθεσιν· ἤτοι φύσει, ἢ σχήματι.

### Καὶ φύσει μέν.

Ἐὰν μὲν ὁ λόγος ἁπλοῦς ᾖ, καὶ τὰ μέρη αὐτοῦ ἐλάχιστα, εἰ μὲν πρὸς δεύτερον ἀποτείνεται ἤτοι παρὸν ἢ ὡς παρὸν πρόσωπον, τίθεται πρῶτον ἡ κλητικὴ, εἶτα τὸ προστακτικὸν δευτεροπροσωποῦν ῥῆμα·



Ε.Υ.Δ τμ.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

οἷον. Ἀδελφοὶ καὶ πατέρες ἀκούσατε· εἰδὲ πρὸς πρῶτον ἢ τρίτον, ἢ καὶ ἄλλως δεύτερον, πρῶτον τίθεται ἡ ὀνομαστικὴ, δεύτερον τὸ ῥῆμα, τρίτον, ἐὰν τὸ ῥῆμα μεταβατικὸν ᾖ, καὶ ἡ πτῶσις, ἣν ἀπαιτεῖ τὸ ῥῆμα. τέταρτον καὶ ὅ,τι ἄλλο ἐκ τετάρτου ἡ τοῦ λόγου χρεία ἀπαιτεῖ, πρὸς τὸ πλῆρες ἢ ἐλειπὲς τῆς συντάξεως· οἷον. Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων. Κωνσταντῖνος ὁ Λάσκαρις ἐδίδασκε τοὺς ἑαυτοῦ μαθητὰς τὰ γραμματικὰ ἐν Μεσσήνῃ τῆς Σικελίας.

Ἐὰν δὲ ὁ λόγος ἁπλοῦς ᾖ, τὰ δὲ μέρη αὐτοῦ μείζω καὶ μέγιστα, τίθενται ἐκ πρώτου μὲν, ὅσα τῷ ἐκ πρώτου ἐπιλέγεται· ἐκ τρίτου δὲ, ὅσα τῷ ἐκ τρίτου, καὶ ἐκ τετάρτου, ὅσα τῷ ἐκ τετάρτου· οἷον. Λάμπρος ὁ Φωτιάδης, ὁ ἐξ Ἰωαννίνων, ἐδίδασκε τοὺς ἑαυτοῦ μαθητὰς, τοὺς προσφοιτῶντας αὐτῷ πανταχόθεν τῆς Ὀθωμανικῆς ἀρχῆς, τὴν γραμματικὴν, καὶ τὴν ποιητικὴν, καὶ πᾶσαν ἐγκύκλιον μάθησιν ἐν Δακίᾳ κατὰ τὰ Βουκουρέστια.

Ἐὰν δὲ ὁ λόγος Συνημμένος ᾖ, τίθενται οἱ λόγοι καθ' ἣν ἀπαιτεῖ ἡ τῶν μορίων τάξις τῶν συναπτόντων αὐτοὺς, καὶ ἑκάστου λόγου τὰ μέρη κατὰ τὴν φυσικὴν τάξιν τῶν τοῦ ἁπλοῦ λόγου μερῶν· οἷον· πρῶτον τὸ ἐκ πρώτου, δεύτερον τὸ ῥῆμα, τρίτον τὸ ἐκ τρίτου τοῦ ῥήματος, καὶ τέταρτον τὸ ἐκ τετάρτου· οἷον· ὁ μὲν Σωκράτης ὁ φιλόσοφος ἐδίδασκε τοὺς Ἀθηναίους πᾶν εἶδος φιλοσοφίας μετ' ἐπιμελείας· ὁ δὲ Πλάτων ὁ μαθητὴς αὐτοῦ συνέγραψε πᾶσαν φιλοσοφίαν ἀτρύτοις πόνοις ἐν διαλόγοις ἱκανοῖς.

Ἐὰν δὲ τὸ ῥῆμα ὑπαρκτικὸν ᾖ, ἐκ πρώτου μὲν τίθεται ἡ τὸ ὑποκείμενον δηλοῦσα ὀνομαστικὴ, ἐκ τρίτου δὲ ἡ τὸ κατηγορούμενον· οἷον. Ἀριστοτέλης ἐστὶ φιλόσοφος. Καὶ ἐὰν περιποιητικῶς συντάσσηται τὸ ὑπαρκτικὸν, μετὰ τὸ ἐκ τρίτου τίθεται ἡ δοτικὴ· οἷον. Ὁ θάνατός ἐστιν ὕπνος τοῖς δικαίοις.

Καὶ ἐν τοῖς ἀπαρεμφάτοις δὲ ἡ ἐκ πρώτου ἀπαρεμφατικὴ αἰ-

Ε.Π.Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τιατικὴ πρὸ τοῦ ἀπαρεμφάτου τίθεται· οἷον. Οὐ θέλω ὑμᾶς ἀγνοεῖν.

Κἂν τοῖς παθητικοῖς δὲ μετὰ τὸ ἐκ τρίτου προθετόπτωτον, ἢ δοτικὴν, τίθεται καὶ ἡ συνεκδοχικὴ, ἐὰν ᾖ· οἷον. Πάσχω ὑπὸ τοῦ ποιοῦντος τὸν πόδα.

Κἂν τοῖς ἀπροσώποις καὶ προαιρετικοῖς μετ' αὐτὰ τίθεται τὸ ἀπαρέμφατον· οἷον. Δεῖ γενέσθαι. Βούλομαι γράφειν.

Καὶ ἐν τοῖς ὀνόμασι δὲ, ὅσα πλαγίαις τισὶ πτώσεσι συντάσσεται, μετὰ τὰ ὀνόματα τίθεται ἡ πλαγία· οἷον· οἶκος Ἀριστοτέλους· ὅμοιος τῷ πατρί· λευκὸς τὴν τρίχα· ὁ Δημοσθένης ἐστὶ δεινὸς περὶ τοὺς λόγους.

Τὰ δὲ ἐκ τετάρτου, ὅταν πλείω τύχωσιν ὄντα, τίθενται καθ' ἣν ἕκαστον εἴληχε τάξιν· πρῶτον μὲν ἡ διαβατικὴ, ἐὰν τύχῃ οὖσα, ἔπειτα τὰ λοιπά· ὧν προσεχέστερον τὸ ἐπίῤῥημα, οἷα ἐπίθετον ῥήματος ὄν.

## Σχήματι δέ.

Ἐν γὰρ τῷ καθ' Ἕλληνας λόγῳ χρώμεθα σχήμασι γραμματικοῖς, ἤτοι ἑνὶ, ἢ δυοῖν, εἰ καὶ πλείοσι πολλάκις κατὰ τὴν χρείαν· ὡς ἂν εὖ ἔχοι εὐφωνίας, καὶ Ἑλληνισμοῦ τὰ συντεθειμένα. Πλεονασμῷ δηλονότι, Ἐλλείψει, Μεταθέσει, καὶ Μεταλήψει, ἢ ἄλλῳ τινί· οἷον. Ἡρόδοτος ὁ Ἁλικαρνασσεὺς περὶ Ὁμήρου γενέσεως, καὶ ἡλικίης, καὶ βιωτῆς, τάδε ἱστόρηκεν· ἔνθα Ἐλλείψει καὶ Μεταθέσει ἐχρήσατο Ἡρόδοτος.

Ἐν δὲ τοῖς συνημμένοις τῶν λόγων πολλὴ μάλιστα ἡ τῶν σχημάτων χρῆσις συμβαίνει, ἤτοι ἑνὸς, ἢ καὶ πλειόνων κατὰ τὴν χρείαν· ὡς ἂν εὖ ἔχει εὐφωνίας καὶ Ἑλληνισμοῦ τὰ συντεθειμένα· ἐν τούτοις γὰρ πλείστη ὅση ἡ τῆς Ἐλλείψεως, καὶ μεταθέσεως χρῆσις. Καὶ Ἐλλείψεως μὲν· οἷον. Εἰ μὲν κατέδυσαν τινὰ, εἰ δὲ μὴ, ἀνεκρούοντο. Οὐ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ Ε.Υ. Δ. ΙΩΑΝΝΙΝΑ 2006

τὸ πλῆρες. Εἰμὲν κατέδυσάν τινα, εὖ ἂν εἶχεν, εἰ δὲ μὴ κατέδυσαν, ἀνεκρούοντο. Μεταθέσεως δέ· οἷον. Κινεῖται, εἰ περιπατεῖ· καὶ τὰ λοιπὰ κατὰ τὸ Πρωθύστερον, καὶ Ἀντεστραμμένον σχῆμα, τό τε Ὑπερβατὸν, καὶ Ὑπερβιβασμόν.

Ἡ δὲ Μετάληψις καὶ ὁ Πλεονασμὸς ἐπ' ἔλαττον εἰς χρῆσιν ἥκουσι· πλὴν μέν τοι καὶ ταῦτα, ὥσπερ καὶ τ' ἄλλα γραμματικὰ σχήματα πολύ τι συμβάλλουσιν εἰς Ἑλληνισμὸν λόγου, ὅταν ἡ χρῆσις αὐτῶν ἐν δέοντι γένηται.

Σημείωσαι δὲ ἐν τῇ Ἐλλείψει, ἔνθα ἀπὸ κοινοῦ γίνεται, σαφέστερον καὶ εὐχρηστότερον ἐν τῷ πρώτῳ λόγῳ τιθέναι τὸ ἐν τοῖς λοιποῖς ἐλλεῖπον· οἷον. Κόσμος ἀνθρώπῳ ἐστὶ φρόνησις, δικαιοσύνη, ἀνδρεία· καί τοι καὶ τἀνάπαλιν ἔστι χρῆσθαι· οἷον. Πάντες δὲ, ὥσπερ ἐκ μιᾶς ψυχῆς, οἱ μὲν πατέρα χρηστὸν, οἱ δ' ἀγαθὸν βασιλέα, γενναῖον δ' ἕτεροι στρατηγὸν, οἱ δὲ σώφρονα καὶ κόσμιον ἄρχοντα ἀπεκάλουν.

## Ε΄. Τίνα δεῖ φυλάττειν ἐν τῇ Συνθέσει τοῦ Λόγου.

Τρία δὲ ταῦτα φυλάττειν δεῖ συντιθέντας καθ' Ἕλληνας· τὴν Κυριολεξίαν, τὰ Ἰδιώματα, καὶ τὸν Ἑλληνισμὸν τοῦ λόγου.

### Κυριολεξία.

Ἡ Κυριολεξία φυλάττεται, ἐὰν μὴ ἡ λέξις ὁμώνυμος ᾖ· πολλὰ δηλονότι σημαίνουσα, ἀλλ' ἐὰν ἓν καὶ κύριον ἔχει σημαινόμενον· μήτε τροπικὴ, εἴτ' οὖν μεταφορικὴ, ἄλλο σημαίνουσα καὶ εἰς ἄλλο μεταλαμβανομένη, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ τοῦτο δηλοῦσα, ὅπερ παραστῆσαι βούλεται.

Ἔστι δ' ὅτε καὶ ὁμωνύμοις λέξεσι χρηστέον, ὅπη κυρία μὴ ᾖ καὶ τροπικαῖς κατὰ τὴν χρείαν· προσεκτέον μέν τοι τὴν ἀκρίβειαν τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Υ. Ζ. Κ.Θ.Π. ΙΩΑΝΝΙΝΑ 2006